UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Antonini Liberalis Transformationum congeries

**Antoninus <Liberalis>**

**Basileae, 1568**

**VD16 A 2960**

Φλέγοντοσ Ἄπελδυθέρον Ἀδριανου καίσαρ[ος] π[...]ί των Ολυμπίων.

urn:nbn:de:hbz:466:1-70288

Visual Library

# ΦΛΕΓΟΝΤΟΣ ἀπελευθέρου Ἀδριανοῦ καίσαρος περὶ τῶν Ὀλυμπίων.

Δοκεῖ μοι χρῆναι εἰπεῖν τὴν αἰτίαν δι' ἣν τὰ Ὀλύμπια τεθῆναι συμβέβηκεν. Ἔστι δὲ ἥδε. Μετὰ Πεῖσον καὶ Πέλοπα, ἔπειτα δὲ Ἡρακλέα τοὺς πρώτους τὴν πανήγυριν καὶ τὸν ἀγῶνα τὸν Ὀλυμπίασιν ἐνστησαμένους, ἐκλιπόντων τῶν Πελοποννησίων τὴν θρησκείαν χρόνῳ τινὶ, εἰς ὃν ἀπὸ Ἰφίτου ὀλυμπιάδες ὀκτὼ πρὸς ταῖς εἴκοσι καταριθμοῦνται εἰς Κόροιβον τὸν ἠλεῖον, καὶ ἀμελησάντων τοῦ ἀγῶνος, στάσις ἐνέστη κατὰ τὴν Πελοπόννησον. Λυκοῦργος δὲ ὁ λακεδαιμόνιος, υἱὸς ὢν τοῦ Πρυτάνεως, τοῦ Εὐρόπου, τοῦ Σώου, τοῦ Προκλέους, τοῦ Ἀριστοδήμου τοῦ Ἀριστομάχου, τοῦ Κλεοδαίου, τοῦ Ὕλλου, τοῦ Ἡρακλέους, καὶ Δηιανείρας, καὶ Ἴφιτος ὁ Αἵμονος, ὡς δὲ ἔνιοι Πραξωνίδου ἑνὸς τῶν ἀφ' Ἡρακλέους ἠλεῖος. καὶ Κλεοσθένης ὁ Κλεονίκου Πισάτης βουλόμενοι εἰς ὁμόνοιαν καὶ εἰρήνην τὸ πλῆθος αὖθις ἀποκαταστῆσαι, τήν τε πανήγυριν τὴν Ὀλυμπικὴν ἔγνωσαν ἀνάγειν εἰς τὰ ἀρχαῖα νόμιμα, καὶ ἀγῶνα γυμνικὸν ἐπιτελεῖν. στέλλονται

δὴ εἰς δελφοὺς χρησόμενοι τῷ θεῷ, εἰ σφίσιν συνεπαινεῖ ταῦτα ποιῆσαι. ὁ δὲ θεός, ἄμεινον, ἔφη, ἔσεσθαι ποιοῦσιν. καὶ προσέταξεν ἐκεχειρίαν ἀγγεῖλαι ταῖς πόλεσιν, ταῖς βουλομέναις μετέχειν τοῦ ἀγῶνος· ὧν περιαγγελθέντων κατὰ τὴν ἑλλάδα καὶ ὁ δίσκος ἐγράφη τοῖς ἑλλανοδίκαις, καθ' ὃν ἔδει τὰ ὀλύμπια ἄγειν· Οὐκ ἄγαν δὲ προσιεμένων τὸν ἀγῶνα, ἀλλὰ δυσχεραινόντων τῶν τε Πελοποννησίων, λοιμὸς ἐπιγενόμενος, καὶ φθορὰ καρπῶν ἐλυμαίνετο αὐτούς· οἱ δὲ ἀποστείλαντες πάλιν τοὺς περὶ τὸν Λυκοῦργον ᾐτοῦντο τοῦ λοιμοῦ παῦλαν καὶ ἴασιν τινά. ἡ δὲ Πυθία χρᾷ τάδε·

Ὦ γῆς ἀκρόπολιν πάσης πελοπηΐδα κλεινὴν
Ναίοντες, πρέσβεις τε βροτῶν πάντων καὶ ἄριστοι
Φράζεσθ' ἐξ ἐμέθεν χρησμὸν θεοῦ ὅττι κεν εἴπω.
Ζεὺς ὑμῖν τελετῆς μῆνιν ἔχει ἣν διέχρησεν,
Οὕνεκ' ἀτιμάζοντες ὀλύμπια λᾶσι ἄνακτος
Ζηνός· τοῦ πρῶτος μὲν ἱδρύσατο καὶ θέτο τιμὴν
Πεῖσος, καὶ μετὰ τόνδε Πέλοψ ὅτε δημον-ναῖαν

Ἑλλάδα,

Ἑλλάδα, θῆκε δ' ἔπειτα ἑορτὴν καὶ ἔπαθλα θανόντι
Οἰνομάῳ. τέτρατος δ' ἐπὶ τοῖς παῖς Ἀμφιτρύωνος
Ἡρακλῆς ἐτέλεσσ' ἑορτὴν καὶ ἀγῶν' ἐπὶ μήτρῳ
Πέλοπι Τανταλίδῃ φθιμένῳ· τὸν δή τοθεν ὑμεῖν
Λείπετε καὶ τελετὴν ἧς χωσάμενος κατὰ θυμὸν,
Ὦρσε κακὴν λιμὸν παρὰ τοῖς καὶ λοιμὸν, ὃν ἐστι
Παῦσαι, ἀνορθώσαντας ἑορτὴν τῷ πάλιν αὖθις.

Ταῦτα ἀκούσαντες, ἀπήγγειλαν τοῖς Πελοποννησίοις· οἱ δὲ ἀπιστήσαντες τῷ χρησμῷ ἀπέστειλαν πάλιν καὶ αὐτοὶ ἀπὸ κοινοῦ δόγματος ἐπιστρεφέστερον ἐπερωτήσαντας τὸν θεὸν περὶ τῶν χρησθέντων. ἡ δὲ Πυθία λέγει τάδε·

Ὦ Πελοποννήσου ναέται περὶ βωμὸν ἰόντες,
Θύετε καὶ πείθεσθε τά κεν μάντεις ἐνέπωσιν,
Ἠλείων πρόπολοι πατέρων νόμον ἰθυώοντες.

τούτων χρησθέντων, οἱ Πελοποννήσιοι ἐπέτρεψαν τοῖς Ἠλείοις ἀγῶνα τιθέναι τῶν Ὀλυμπίων, καὶ ἐκεχειρίαν ἀγγέλλειν ταῖς πόλεσιν· καὶ Ἠλεῖοι δὲ μετὰ ταῦτα βουλόμενοι βοηθεῖν

Λακεδαιμονίοις, ὅτε Ἕλος ἐπολιόρκουν πέμψαντες εἰς Δελφοὺς ἐμαντεύοντο· καὶ χρᾷ ἡ Πυθία τάδε·

Τὴν αὐτῶν ῥύεσθε πάτραν πολέμου δ' ἀπέχεσθε,
Κοινοδίκου φιλίας ἡγούμενοι ἑλλήνεσσιν
Ἔστ' ἂν πενταέτης ἔλθῃ φιλόφρων ἐνιαυτός.

Χρησθέντων δὲ τούτων, τοῦ μὲν πολεμεῖν ἀπέσχοντο, τὴν δὲ Ὀλυμπίων τὴν ἐπιμέλειαν ἐποιοῦντο. καὶ ἐστέφετο μὲν οὐδεὶς ἐπὶ πέντε Ὀλυμπιάδας. τῇ δὲ ἕκτῃ ἔδοξεν αὐτοῖς μαντεύσασθαι, εἰ στέμματα περιθῶσι τοῖς νικῶσι. καὶ πέμπουσι τὸν βασιλέα Ἴφιτον εἰς θεοῦ, ὁ δὲ θεὸς ἔφη τάδε·

Ἴφιτε μήλειον καρπὸν μὴ θῇς ἐπὶ νίκῃ,
Ἀλλὰ τὸν ἄγριον ἀμφιτίθει καρπώδη ἔλαιον
Ὃς νῦν ἀμφέχεται λεπτοῖσιν ὑφάσμασ' ἀράχνης.

Παραγενόμενος οὖν εἰς τὴν Ὀλυμπίαν πολλῶν ἐν τῷ τεμένει κοτίνων ὄντων εὑρὼν ἕνα περιεχόμενον ἀραχνίοις, περιῳκοδόμησεν αὐτόν, καὶ τοῖς νικῶσιν ἐκ τούτου ἐδόθη ὁ στέφανος. πρῶτος δ' ἐστεφανώθη Δαϊκλῆς Μεσσήνιος τῇ ἑβδόμῃ Ὀλυμπιάδι στάδιον ἐνίκα.